# In Psalmum 145

## ΟΜΙΛΙΑ Ῥηθεῖσα εἰς τὴν μεγάλην ἑβδομάδα, ἐν ᾗ διδασκαλία, τίνος χάριν καλεῖται μεγάλη ἑβδομάς· καὶ εἰς τὸ, "Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον·" καὶ εἰς τὸν ἐν ταῖς Πράξεσι δεσμοφύλακα.

55.519

α΄. Διηνύσαμεν τῆς νηστείας τὸν πλοῦν, καὶ πρὸς τὸν λιμένα τῇ τοῦ Θεοῦ χάριτι λοιπὸν κατηντήσαμεν· ἀλλὰ μὴ διὰ τοῦτο ῥᾳθυμῶμεν, ἐπειδὴ πρὸς τὸν λι μένα κατηντήσαμεν, ἀλλὰ διὰ τοῦτο σπουδάζωμεν μᾶλλον, ἐπειδὴ πρὸς τὸ τέλος ἐφθάσαμεν. Οὕτω γὰρ καὶ κυβερνῆται ποιοῦσιν· ἐπειδὰν μυριοφόρον ὁλκάδα πεπληρωμένην τῶν σίτων καὶ τῶν φορτίων εἰς ὕψος συγκειμένων εἰς στόμα λιμένος εἰσάγειν μέλλωσιν, ἐναγώνιοι καὶ περιδεεῖς εἰσι, μήποτε μετὰ τὰ μακρὰ πελάγη πέτρᾳ τινὶ προσρῆξαν τὸ πλοῖον, ἐκεῖ τὴν ἐμπορίαν καταδύσῃ πᾶσαν. Οὕτω δὲ καὶ ἡμᾶς δεδοι κέναι χρὴ καὶ ἐναγωνίους εἶναι, μὴ πρὸς τῷ τέλει τῆς ἀμοιβῆς τῶν πόνων ἐκπέσωμεν. Διὸ καὶ ἐπιτεῖναι χρὴ τὴν σπουδήν.

Οὕτω καὶ οἱ δρομεῖς ποιοῦσιν· ὅταν ἴδωσιν ἑαυτοὺς ἐγγὺς τῶν βραβείων γινομένους, τότε μᾶλλον ἐπιτείνουσι τὸν δρόμον. Οὕτω καὶ ἀθλη ταὶ, μετὰ μυρία παλαίσματα καὶ μυρίας νίκας, ὅταν περὶ τοὺς στεφάνους πλησιάσωσι, τότε μᾶλλον δι ανίστανται, καὶ συντείνουσιν αὐτῶν τὴν προθυμίαν. Οὕτω δὴ καὶ ἡμεῖς ποιήσωμεν νῦν. Ὅπερ γὰρ κυβερνήταις λιμὴν, καὶ δρομεῦσι βραβεῖα, καὶ ἀθληταῖς στέφανοι, τοῦτο ἡμῖν ἡ παροῦσα ἑβδομὰς, τὸ κεφά λαιον τῶν ἀγαθῶν, καὶ τὰ περὶ τοὺς στεφάνους πα λαίσματα νῦν Διὸ καὶ μεγάλην καλοῦμεν αὐτήν· οὐκ ἐπειδὴ μεῖζον ἔχουσι μῆκος ἄλλων ἁπασῶν αἱ ταύτης ἡμέραι· καὶ γὰρ εἰσὶν ἕτεραι μείζους· οὐδὲ ἐπειδὴ πλείους τὸν ἀριθμόν· καὶ γὰρ ἴσαι ταῖς ἄλλαις εἰσίν· ἀλλ' ἐπειδὴ μεγάλα ἡμῖν γέγονεν ἐν αὐτῇ παρὰ τοῦ Δεσπότου κατορθώματα. Καὶ γὰρ ἐν ταύτῃ τῇ ἑβδο μάδι τῇ μεγάλῃ ἡ χρονία τοῦ διαβόλου κατελύθη τυ ραννὶς, ὁ θάνατος ἐσβέσθη, ὁ ἰσχυρὸς ἐδέθη, τὰ σκεύη αὐτοῦ διηρπάγη, ἡ ἁμαρτία ἀνῃρέθη, ἡ κατάρα κατελύθη, ὁ παράδεισος ἀνεῴχθη, ὁ οὐρανὸς βάσιμος γέγονεν, ἄνθρωποι τοῖς ἀγγέλοις ἀνεμίγησαν, τὸ με σότοιχον τοῦ φραγμοῦ ἤρθη, τὸ θριγκίον περιῃρέθη, ὁ τῆς εἰρήνης Θεὸς εἰρηνοποίησε τὰ ἄνω καὶ τὰ ἐπὶ τῆς γῆς.

Διὰ τοῦτο μεγάλη καλεῖται ἑβδομάς· καὶ ὥσπερ αὕτη κεφάλαιον τῶν λοιπῶν ἑβδομάδων, οὕτω ταύτης κεφαλὴ τὸ σάββατον τὸ μέγα· καὶ καθάπερ ἐν σώματι κεφαλὴ, οὕτως ἐν τῇ ἑβδομάδι τὸ σάββα τον. Διὰ τοῦτο ἐν αὐτῇ πολλοὶ τὴν σπουδὴν ἐπιτεί νουσι· καὶ οἱ μὲν τὴν νηστείαν αὔξουσιν, οἱ δὲ τὰς ἀγρυπνίας τὰς ἱερὰς, οἱ δὲ ἐλεημοσύνην δαψιλεστέ ραν ἐργάζονται, τῇ περὶ τὰς ἀγαθὰς πράξεις σπουδῇ καὶ τῇ συντεταμένῃ περὶ τὸν βίον εὐλαβείᾳ τὸ μέ γεθος τῆς εὐεργεσίας τῆς εἰς ἡμᾶς γεγενημένης παρὰ τοῦ Θεοῦ μαρτυροῦντες.

Καθάπερ γὰρ, ὅτε τὸν Λάζαρον ἀνέστησεν ὁ Κύριος, ἀπήντων αὐτῷ πάντες οἱ
55.520 ἐν Ἱεροσολύμοις, καὶ τῷ πλήθει ἐμαρτύρουν, ὅτι ἀν έστησε τὸν νεκρὸν (ἡ γὰρ σπουδὴ τῶν ἐξελθόντων τοῦ θαύματος ἦν ἀπόδειξις)· οὕτω δὴ καὶ ἡ νῦν σπουδὴ ἡ περὶ τὴν μεγάλην ἑβδομάδα ταύτην, τοῦ μεγέθους τῶν κατορθωμάτων τῶν ἐν αὐτῇ τεκμήριόν ἐστι καὶ ἀπόδειξις. Οὐδὲ γὰρ ἐκ μιᾶς πόλεως ἐξερχόμεθα ἀπαντῶντες τῷ Χριστῷ σήμερον, οὐδὲ ἐξ Ἱεροσολύ μων μόνον, ἀλλ' ἀπὸ τῆς οἰκουμένης ἁπάσης μυ ρίανδροι πάντοθεν Ἐκκλησίαι ἐξέρχονται ἀπαντῶσαι τῷ Ἰησοῦ, οὐ βαΐα φοινίκων κατέχουσαι καὶ ἐπισείου σαι, ἀλλ' ἐλεημοσύνην καὶ φιλανθρωπίαν καὶ ἀρε τὴν καὶ νηστείαν καὶ δάκρυα καὶ εὐχὰς καὶ ἀγρυ πνίας καὶ πᾶσαν εὐλάβειαν προσφέρουσαι τῷ Δεσπότῃ Χριστῷ. Οὐχ ἡμεῖς δὲ μόνον ταύτην τιμῶμεν τὴν ἑβδο μάδα, ἀλλὰ καὶ οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

βασιλεῖς τῆς καθ' ἡμᾶς οἰκου μένης, οὐχ ὡς ἔτυχεν, αὐτὴν τετιμήκασιν, ἐκεχει ρίαν πᾶσι δόντες τοῖς τὰ κοινὰ τῶν πόλεων πράτ τουσι πράγματα, ἵνα τῆς ἐκεῖθεν ἀπολαύσαντες σχολῆς, τὰς ἡμέρας ταύτας ἁπάσας τῇ πνευματικῇ προσέχωσι θεραπείᾳ. Διὰ τοῦτο καὶ τῶν δικαστηρίων τὰς θύρας ἀπέκλεισαν. Ἀργείτω, φησὶ, πᾶσα ἀμφι σβήτησις καὶ μάχης εἶδος καὶ τιμωρίας, ἀναπαυσά σθωσαν μικρὸν τῶν δημίων αἱ χεῖρες. Κοινὰ τὰ κατ ορθώματα τοῦ Δεσπότου γέγονε· γενέσθω δή τι καὶ παρ' ἡμῶν τῶν δούλων ἀγαθόν. Οὐ ταύτῃ δὲ μόνον αὐτὴν τετιμήκασι τῇ σπουδῇ καὶ τιμῇ, ἀλλὰ καὶ ἑτέρᾳ οὐκ ἐλάττονι ταύτης. Βασιλικὰ καταπέμπονται γράμματα, λέγοντα τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφίεσθαι τῶν δεσμῶν. Καθάπερ γὰρ ὁ Δεσπότης ἡμῶν ἐν ᾅδου γενόμενος, τοὺς κατεχομένους ὑπὸ τοῦ θανά του πάντας ἀπέλυσεν· οὕτω δὴ καὶ οἱ δοῦλοι τὰ κατὰ δύναμιν εἰσφέροντες, καὶ τὴν Δεσποτικὴν μιμούμενοι φιλανθρωπίαν, δεσμῶν ἀπολύουσι τῶν αἰσθητῶν, ἐπειδὴ τῶν νοητῶν οὐκ ἰσχύουσι.

β΄. Ταύτην καὶ ἡμεῖς τιμῶμεν τὴν ἑβδομάδα, καὶ ἀντὶ φοινίκων ἐξῆλθον κἀγὼ μεθ' ὑμῶν διδασκαλίας λόγον προτεινόμενος, τὰ δύο καταβάλλων λεπτὰ καθά περ ἡ χήρα. Ἐξῆλθον τότε ἐκεῖνοι βαΐα φοινίκων ἔχοντες, καὶ ἐπεβόων καὶ ἔλεγον· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ἐξέλθωμεν καὶ ἡμεῖς, καὶ ἀντὶ τῶν φοινίκων βαΐων προαίρεσιν θάλλουσαν ἐπιδεικνύμενοι βοήσω μεν, καθάπερ σήμερον ὑπεψάλλομεν· Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν ζωῇ· κἀκεῖνο τὸ ῥῆμα Δαυϊδικὸν, καὶ τοῦτο· μᾶλλον δὲ οὐδὲ ἐκεῖνο Δαυϊδικὸν, οὐδὲ τοῦτο· ἀλλ' ἀμφότερα τῆς τοῦ Πνεύ ματος χάριτος. Ἐφθέγξατο μὲν γὰρ ὁ προφήτης, ἐκίνησε δὲ τὴν τοῦ προφήτου γλῶσσαν ὁ Παράκλη τος. Διὰ τοῦτό φησιν· Ἡ γλῶσσά μου κάλαμος γραμ ματέως ὀξυγράφου. Καθάπερ ὁ κάλαμος οὐκ ἀφ' ἑαυτοῦ γράφει, ἀλλ' ἀπὸ τῆς ἐξουσίας τῆς κινούσης αὐτὸν χειρός· οὕτω δὴ καὶ ἡ γλῶττα τῶν προφητῶν οὐκ ἀφ' ἑαυτῆς ἐφθέγγετο, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος. Ἀλλὰ τίνος ἕνεκεν οὐκ εἶπεν, Γλῶσσά μου κάλαμος γραμματέως, ἁπλῶς, ἀλλὰ, Κάλαμος γραμ 55.521 ματέως ὀξυγράφου; Ἵνα μάθῃς, ὅτι πνευματικὴ ἡ σοφία· διὸ καὶ πολλὴ ἡ εὐκολία, καὶ πολὺς ὁ δρόμος. Ἄνθρωποι μὲν γὰρ ἀφ' ἑαυτῶν φθεγγόμενοι συντι θέασι, βουλεύονται, βραδύνουσι, πολὺν παρέλκουσι χρόνον· ἐκεῖ δὲ, ἐπειδὴ καθάπερ ἀπὸ πηγῆς ἀν έβλυζε τὰ ῥήματα, καὶ οὐδὲν ἐμπόδιον ἦν, ἀλλὰ τὸν δρόμον τῆς γλώττης ἐνίκα τῶν νοημάτων ἡ ἐπιῤῥοὴ, διὰ τοῦτο ἔλεγεν· Ἡ γλῶσσά μου κάλαμος γραμμα τέως ὀξυγράφου. Ἀναβλύζει κάτω τὰ νάματα μετὰ πολλῆς δαψιλείας, φησί. Διὸ πολλὴ ἡ ὀξύτης.

Οὐ δεῖ σκέψεως ἡμῖν, οὐδὲ μελέτης καὶ πόνου. Ἀλλ' ἴδωμεν τί φησιν. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον. Ταῦτα καὶ ἡμεῖς μετὰ τοῦ Δαυῒδ ψάλλωμεν σήμερον. Εἰ γὰρ καὶ μὴ τῷ σώματι πάρεστιν, ἀλλὰ τῷ πνεύματι πάρεστι. Καὶ ὅτι πάρεισιν ἡμῖν οἱ δίκαιοι, καὶ μεθ' ἡμῶν ψάλ λουσιν, ἄκουσον τι φησιν ὁ Ἀβραὰμ πρὸς τὸν πλού σιον. Λέγοντος γὰρ ἐκείνου, Πέμψον Λάζαρον, ἵνα οἱ ἀδελφοί μου, μαθόντες τὰ ἐν ᾅδου, διορ θώσωνται τὰ καθ' ἑαυτούς· λέγει πρὸς αὐτόν· Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας. Καὶ μὴν Μωϋ σῆς καὶ οἱ προφῆται πάντες πάλαι τεθνήκεσαν τῷ σώματι, διὰ τῶν γραμμάτων δὲ εἶχον αὐτούς. Εἰ γὰρ εἰκόνα τις ἄψυχον ἀναθεὶς παιδὸς ἢ φίλου, νο μίζει παρεῖναι ἐκεῖνον τὸν ἀπελθόντα, καὶ διὰ τῆς εἰκόνος αὐτὸν φαντάζεται τῆς ἀψύχου· πολλῷ μᾶλλον ἡμεῖς διὰ τῶν θείων Γραφῶν τῆς τῶν ἁγίων ἀπο λαύομεν συνουσίας. οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες. Τὰ γὰρ παρ' αὐτῶν εἰρημένα τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσί. Βούλει μα θεῖν, ὅτι ζῶσιν οἱ δίκαιοι καὶ πάρεισιν; Οὐδεὶς τοὺς τεθνεῶτας μάρτυρας καλεῖ· ὁ δὲ Χριστὸς μάρτυρας αὐτοὺς ἐκάλεσε τῆς οἰκείας θεότητος, καὶ πρὸ τού των αὐτὸν τὸν Δαυῒδ, ἵνα σε διδάξῃ ὅτι ζῇ. Τῶν γὰρ Ἰουδαίων ἀμφισβητούντων περὶ αὐτοῦ, λέγει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς αὐτούς· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; Λέγουσιν αὐτῷ, Τοῦ Δαυΐδ. Λέγει αὐτοῖς· Πῶς οὖν Δαυῒδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου; Εἶδες πῶς ζῇ ὁ Δαυΐδ; Εἰ γὰρ μὴ ἔζη, οὐκ ἂν ἐκάλεσεν αὐτὸν μάρτυρα τῆς θεότητος αὐτοῦ. Καὶ οὐκ εἶπε, Πῶς οὖν ὁ Δαυῒδ ἐν Πνεύματι Κύριον αὐτὸν ἐκάλεσεν; ἀλλὰ, Κύριον αὐ τὸν καλεῖ; ἵνα δείξῃ ὅτι πάρεστιν ἔτι, καὶ διὰ τῶν γραμμάτων φθέγγεται. Ἔψαλλέ ποτε ὁ Δαυῒδ ἐν ψαλμοῖς, καὶ ἡμεῖς μετὰ τοῦ Δαυῒδ σήμερον. Ἐκεῖνος κιθάραν εἶχεν ἀπὸ νευρῶν ἀψύχων· ἡ Ἐκκλησία κιθάραν ἔχει ἀπὸ νευρῶν ἐμψύχων ἐντεταμένην. Αἱ γλῶτται ἡμῶν νευραὶ τῆς κιθάρας εἰσὶ, διάφορον μὲν ἀφιεῖσαι τὸν φθόγγον, σύμφωνον δὲ τὴν εὐσέ βειαν. Καὶ γὰρ καὶ γυναῖκες καὶ ἄνδρες, καὶ πρε σβῦται καὶ νέοι διῄρηνται μὲν κατὰ τὴν ἡλικίαν, οὐ διῄρηνται δὲ κατὰ τὸν τῆς ὑμνῳδίας λόγον· τὴν γὰρ ἑκάστου φωνὴν τὸ Πνεῦμα κεράσαν, μίαν ἐν ἅπασιν ἐργάζεται τὴν μελῳδίαν· καθὼς καὶ αὐτὸς ἐδήλωσεν ὁ Δαυῒδ, πᾶσαν μὲν ἡλικίαν, ἑκατέραν δὲ φύσιν πρὸς τὴν συμφωνίαν ταύτην καλῶν καὶ λέγων· Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἴνει, ἡ ψυχή μου, 55.522 τὸν Κύριον.

Τίνος ἕνεκεν τὴν σάρκα κατέλιπε; τίνος ἕνεκεν πρὸς τὸ σῶμα οὐδὲν διαλέγεται; ἆρα ἔσχισεν εἰς δύο τὸ ζῶον; Οὐδαμῶς· ἀλλὰ τὸν τεχνίτην πρῶ τον διεγείρει. Ὅτι δὲ οὐκ ἀπέσχισε τὴν σάρκα ἀπὸ τῆς ψυχῆς, ἄκουσον ἀλλαχοῦ πῶς φησιν· Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω· Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ. Ἀλλ' ἐν ὕμνοις δεῖξόν μοι καὶ τὴν σάρκα καλουμένην, φησίν. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εἶδες καὶ τὴν σάρκα κοινωνοῦσαν τῆς συμφωνίας; Τί ποτέ ἐστι, Καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ; Τὰ νεῦρα, φησὶ, τὰ ὀστᾶ, τὰς φλέβας, τὰς ἀρτηρίας, καὶ πάντα τὰ ἔνδον μόρια.

γʹ. Καὶ πῶς δύναται τὰ ἐντὸς ἡμῶν τὸν Θεὸν εὐλο γεῖν; Φωνὴν οὐκ ἔχει, στόμα οὐκ ἔχει, γλῶτταν οὐκ ἔχει. Ἡ μὲν γὰρ ψυχὴ δύναται· τὰ δὲ ἐντὸς πῶς δύναται, μήτε φωνὴν, μήτε γλῶτταν, μήτε στόμα ἔχοντα, εὐλογεῖν τὸν Θεόν; Ὥσπερ Οἱ οὐρανοὶ δι ηγοῦνται δόξαν Θεοῦ. Καθάπερ γὰρ οἱ οὐρανοὶ οὐ γλῶτταν, οὐ στόμα, οὐ χείλη ἔχουσιν, ἀλλὰ τῷ κάλ λει τῆς ὄψεως ἐκπλήττοντες τοὺς θεατὰς παραπέμ πουσι τῷ θαύματι πρὸς τὴν εὐφημίαν τοῦ πεποιη κότος αὐτούς· οὕτω δὴ καὶ τὰ ἐντὸς ἡμῶν ἐὰν ἐπέλ θῃς ἅπαντα τῷ λογισμῷ, ἐὰν ἴδῃς τὴν διαφορὰν τῆς ποιότητος, τῆς ἐνεργείας, τῆς δυνάμεως, τῆς συμ φωνίας, τῆς διαπλάσεως, τῆς θέσεως, τοῦ ἀριθμοῦ, τῆς ἁρμονίας, ἐκεῖνο τὸ προφητικὸν ἀναφθέγξῃ ῥῆμα· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας. Εἶδες πῶς εὐλογεῖ τὰ ἔγκατα τὸν Θεὸν χωρὶς φωνῆς καὶ στόματος καὶ γλώττης; Τίνος οὖν ἕνεκεν πρὸς τὴν ψυχὴν διαλέγεται; Ἵνα μὴ τῆς γλώττης φθεγγομένης ἐκείνη ῥέμβηται, ὃ πολλάκις καὶ ἐν ταῖς εὐχαῖς πάσχομεν καὶ ἐν ταῖς ὑμνῳδίαις· ἵν' ἑκατέρωθεν ἡ συμφωνία ᾖ. Ὅταν γὰρ εὐχόμενος μὴ ἀκούσῃς τῶν ῥημάτων τοῦ Θεοῦ, πῶς ὁ Θεὸς ἀκουσεταί σου τῆς ἐντεύξεως; Ὅταν οὖν λέγῃ. Αἴ νει, ἡ ψυχή μου, τὸν Κύριον, τοῦτο λέγει, ἔνδον ἐκ βάθους τῆς καρδίας ἀναφερέσθωσαν αἱ ἱκετηρίαι. Καὶ γὰρ ὁ Παῦλός φησι· Ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ μου.

Μουσικός τις ἄριστός ἐστιν ἡ ψυχὴ, τεχνίτης ἐστίν· ὄργανόν ἐστι τὸ σῶμα, κι θάρας καὶ αὐλοῦ καὶ λύρας χώραν ἐπέχον. Οἱ μὲν οὖν ἄλλοι μουσικοὶ οὐ διὰ παντὸς μετὰ πάντων τῶν ὀρ γάνων εἰσὶν, ἀλλὰ ποτὲ μὲν ἀναλαμβάνουσιν αὐτὰ, ποτὲ δὲ ἀποτίθενται· οὐ γὰρ διηνεκὴς ὁ καιρὸς αὐ τοῖς τῆς μελῳδίας ἐστί· διόπερ οὐδὲ διηνεκῶς τὰ ὄργανα μεταχειρίζουσι· σὲ δὲ βουλόμενος ὁ Θεὸς δι δάξαι, ὅτι διὰ παντὸς ὀφείλεις αὐτὸν ὑμνεῖν τε καὶ εὐλογεῖν, ἥνωσε τῷ τεχνίτῃ τὸ ὄργανον διηνεκῶς. Ὅτι γὰρ διαπαντὸς αἰνεῖν δεῖ, ἄκουσον τί φησιν ὁ Ἀπό στολος·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐ χαριστεῖτε. Ἐπεὶ οὖν ἀδιαλείπτως προσεύχε σθαι δεῖ, ἀδιαλείπτως ἐστὶ τὸ ὄργανον μετὰ τοῦ τεχνίτου. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον. Τὸ πρό τερον μιᾷ γλώττῃ ἔλεγε ταῦτα ὁ Δαυΐδ· νυνὶ δὲ, ἐπειδὴ ἐτελεύτησε, μυρίαις γλώσσαις ταῦτα φθέγγε ται, οὐ ταῖς παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ ταῖς παντα χοῦ τῆς οἰκουμένης. Εἶδες ὅτι οὐ τέθνηκεν, ἀλλὰ ζῇ; Πῶς γὰρ τέθνηκεν ὁ τοσαύτας ἔχων γλώττας, καὶ διὰ τοσούτων στομάτων φθεγγόμενος; Μέγα ἀληθῶς αἶνος· ἐκκαθαίρει γὰρ τὴν ἡμετέραν ψυχὴν, καὶ πολ λὴν ἡμῖν ἐντίθησι τὴν εὐλάβειαν. Βούλει μαθεῖν, πόση τῶν εἰς Θεὸν ὕμνων ἡ δύ 55.523 ναμις; Ὑμνοῦντες οἱ τρεῖς παῖδες, οὕτω τὴν κά μινον ἔσβεσαν τὴν Βαβυλωνίαν· μᾶλλον δὲ οὐκ ἔσβε σαν, ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, καιομένην τὴν φλόγα, ὡσεὶ πηλὸν, κατεπάτησαν τοῖς ποσίν. Οὗτος ὁ ὕμνος εἰς δεσμωτήριον εἰσελθὼν ἐπὶ τοῦ Παύλου τὰ δεσμὰ ἔλυσε, τὰς θύρας ἀνέῳξε τοῦ δεσμωτηρίου, τὰ θεμέλια διέσεισε, καταπλήξει πολλῇ τὸν δεσμοφύ λακα ἐφόβησε.

Κατὰ γὰρ τὸ μεσονύκτιον ὕμνουν, φησὶν, ὁ Παῦλος καὶ ὁ Σίλας. Εἶτα τί γέγονε; Τί; Τὸ και νὸν καὶ παράδοξον πάντως· τὰ δεσμὰ ἐλύθη, οἱ δε δεμένοι τοὺς λελυμένους ἔδησαν· καὶ μὴν δεσμῶν φύσις ἐστὶ, τὸ δεδεμένον ἐν ἀκριβείᾳ πολλῇ κατέχειν καὶ ὑποχείριον ποιεῖν· νυνὶ δὲ ὁ δεσμοφύλαξ λελυ μένος πρὸς τοὺς πόδας ἦλθε τοῦ δεδεμένου Παύλου. Δεσμῶν μὲν γὰρ τῶν αἰσθητῶν φύσις ἐστὶ, κατέχειν τὸν δεδεμένον· δεσμῶν δὲ τῶν διὰ Χριστὸν τοσαύτη ἡ δύναμις, ὥστε τοὺς λελυμένους τοῖς δεδεμένοις ὑποχειρίους ποιεῖν. Εἰς τὴν ἐσωτέραν αὐτοὺς ἔβαλε φυλακὴν, καὶ ἔνδον ὄντες τὰς ἔξω θύρας ἀνέῳξαν. Τοὺς πόδας αὐτῶν ἠσφαλίσατο τῷ ξύλῳ, καὶ οἱ πόδες αὐ τῶν οἱ ἠσφαλισμένοι τῶν ἄλλων τὰς χεῖρας ἔλυ σαν. Εἶτα προσέπεσεν αὐτῷ, φησὶν, ὁ δεσμοφύλαξ, δεδοικὼς, τρέμων, στένων, ἀγωνιῶν, δακρύων. Τί ποτε γέγονεν; οὐ σὺ ἔδησας; οὐ σὺ ἐν ἀσφαλείᾳ κατέσχες; Καὶ τί θαυμάζεις, ἄνθρωπε, εἰ τὸ δεσμω τήριον ἀνέῳξεν, ὅπου γε καὶ τοὺς οὐρανοὺς ἀνοίγειν ἔλαβεν ἐξουσίαν. Ὅσα ἂν δήσητε, φησὶν, ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς Ἁμαρτημάτων ἔλυσε δεσμά· τί θαυμά ζεις, εἰ σιδήρου λύει δεσμά; Δαιμόνων ἔλυσε δεσμὰ, ψυχὰς δεδεμένας ὑπ' αὐτοῖς ἀπήλλαξε· καὶ τί θαυ μάζεις, εἰ τὰς τῶν δεσμωτῶν ἁλύσεις ἀνῆκε; Καὶ ὅρα διπλοῦν τὸ θαῦμα· ἔλυσε πάλιν, καὶ ἔδησεν. Ἔλυσε μὲν γὰρ τὰ δεσμὰ, ἔδησε δὲ αὐτῶν τὴν καρ δίαν. Ὅτι γὰρ λελυμένοι ἦσαν, οὐκ ᾔδεισαν. Ἀνέῳξε καὶ ἔκλεισεν· ἀνέῳξε μὲν γὰρ τὰς τοῦ δεσμωτηρίου θύρας, ἔκλεισε δὲ τοὺς ὀφθαλμοὺς τῆς καρδίας δε σμωτῶν, ὥστε μὴ αἰσθάνεσθαι τῶν θυρῶν ἐκείνων ἀνεῳγμένων, ἵνα μὴ καὶ τῇ ἀδείᾳ ἀποχρησάμενοι εἰς φυγὴν ἀποπηδήσωσιν. Εἶδες καὶ δεσμοῦντα καὶ λύοντα, καὶ ἀνοίγοντα καὶ κλείοντα; δʹ. Διὰ τοῦτο ἐν νυκτὶ ταῦτα ἐγίνετο, ἵνα ἀθορύβως τὸ πρᾶγμα γένηται καὶ χωρὶς ταραχῆς πάσης. Οὐδὲν γὰρ πρὸς ἐπίδειξιν οὐδὲ φιλοτιμίαν ἐποίουν οἱ ἀπό στολοι. Προσέπεσεν αὐτῷ ὁ ἀρχιδεσμοφύλαξ. Τί οὖν ὁ Παῦλος; Εἶδες αὐτοῦ τὸ θαῦμα; εἶδες αὐ τοῦ τὰ παράδοξα ἔργα; Θέασαι αὐτοῦ καὶ τὴν κη δεμονίαν, θέασαι αὐτοῦ τὴν φιλανθρωπίαν.

Ἀνεβόησε, φησὶ, καὶ εἶπε· Μηδὲν ποιήσῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε. Τὸν δήσαντα πικρῶς οὐκ ἀφῆκεν ἀποθανεῖν πικρῶς, οὐκ ἐμνησι κάκησε. Πάντες γάρ ἐσμεν ἐνθάδε, φησίν. Ὅρα τὸ ἄτυφον. Οὐκ εἶπε, Ταῦτα τὰ παράδοξα ἐγὼ ἐποίησα, ἀλλὰ τί; Πάντες γάρ ἐσμεν ἐνθάδε. Μετὰ τῶν δεσμωτῶν ἑαυτὸν ἠρίθμησεν ὁ Παῦλος. Ἰδὼν δὲ ἐκεῖνος ἐθαύμασε τὸ γεγονὸς, ἐξεπλάγη ἐπὶ τῷ θαύ ματι, ηὐχαρίστησε τῷ Θεῷ. Ἄξιος ὄντως πολλῆς κηδε μονίας καὶ φιλανθρωπίας ὁ δεσμοφύλαξ· οὐκ ἐνόμι σεν εἶναι γοητείαν τὰ γεγενημένα. Τίνος οὖν ἕνεκα οὐκ ἐνόμισεν εἶναι γοητείαν τὰ γινόμενα; Ἤκουσεν αὐ τῶν ὑμνούντων τὸν Θεόν· γόης δὲ οὐδέποτε ὑμνεῖ τὸν Θεόν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πολλοὺς γόητας ἐδέξατο, ἐπεὶ δεσμοφύλαξ ἦν· ἀλλ' οὐδέποτε ἐκείνων οὐδεὶς τοιοῦτον ἐπεδείξατο ἔρ γον, οὐκ ἔλυσε δεσμὰ, οὐκ ἐπεδείξατο κηδεμονίαν 55.524 τοιαύτην. Καὶ γὰρ εἵλετο δεδέσθαι ὁ Παῦλος, καὶ μὴ φυγεῖν, ὥστε ἐκεῖνον ἀπαλλάξαι τῆς τελευτῆς. Είσ επήδησε γὰρ, ξίφος ἔχων ἐν ταῖς χερσὶ καὶ λαμπάδα· καὶ γὰρ ἐβούλετο ὁ διάβολος διὰ τῆς σφαγῆς προ εξαρπάσαι αὐτὸν τῆς μετανοίας, ἀλλ' εὐτονωτέρᾳ φωνῇ τὴν σωτηρίαν αὐτοῦ τῆς ψυχῆς ὀξύτερον ἐκέρ δανεν ὁ Παῦλος. Οὐ γὰρ ἁπλῶς ἐβόησεν, ἀλλὰ με γάλῃ φωνῇ, λέγων· Πάντες ἐσμὲν ἐνθάδε. Ἐθαύ μασε τὴν κηδεμονίαν ὁ δεσμοφύλαξ, προσέπεσε τῷ δεδεμένῳ ὁ λελυμένος, καὶ τί φησιν; Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; Σὺ ἔδησας, καὶ σὺ ἐν ἀπο ρίᾳ εἶ; σὺ ἠσφαλίσω τῷ ξύλῳ, καὶ σὺ ζητεῖς τρόπον μετανοίας καὶ σωτηρίας; Εἶδες θερμότητα; εἶδες σπουδήν; Οὐκ ἀνεβάλετο, ἀλλ' ἐπειδὴ ἀπελύθη τοῦ φόβου, οὐκ ἀπελύθη τῆς εὐεργεσίας, ἀλλὰ εὐθέως ἐπὶ τὴν σωτηρίαν τῆς ψυχῆς ὁρμᾷ τῆς ἑαυτοῦ. Νὺξ ἦν, καὶ μέση νύξ. Οὐκ εἶπε· Σκεψώμεθα, ἡμέρα γε νέσθω· ἀλλ' εὐθέως ἐπὶ τὴν σωτηρίαν ἔδραμε. Μέγας τίς ἐστιν οὗτος ὁ ἀνὴρ, φησὶν, ὑπερβαίνει τὴν φύσιν τὴν ἀνθρωπίνην. Εἶδον αὐτοῦ τὸ θαῦμα, ἐθαύμασα τὴν φιλανθρωπίαν. Μυρία κακὰ ὑπ' ἐμοῦ παθὼν, ἐν τοῖς ἐσχάτοις ὢν, ἐμὲ τὸν δήσαντα εἰς χεῖρας λαβὼν, δυνάμενος διαχειρίσασθαι, οὐ μόνον οὐδὲν ἐποίησεν, ἀλλὰ καὶ μέλλοντα σφάττειν ἑαυτὸν, καὶ τὸ ξίφος ὠθεῖν διὰ τοῦ λαιμοῦ, ἐκώλυσεν. Εἰ κότως φησί· Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ, Οὐ γὰρ δὴ τὰ θαύματα μόνον ἐπὶ τῶν ἀποστόλων ἐπεσπάσατο τοὺς πιστεύοντας, ἀλλὰ πρὸ τῶν θαυ μάτων ὁ βίος.

Διὰ τοῦτό φησι· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Εἶδες θερμότητα τοῦ δεσμο φύλακος; Βλέπε καὶ τοῦ Παύλου θερμότητα. Οὐκ ἀνεβάλλετο, οὐχ ὑπερεῖδεν· ἀλλ' ἐν τοῖς δεσμοῖς ὢν, ἐν τῷ ξύλῳ ὢν, ἐν ταῖς πληγαῖς, εὐθέως αὐτὸν ἐμυ σταγώγησε, καὶ μετ' ἐκείνου τὴν οἰκίαν ἅπασαν, καὶ μετὰ τὸ πνευματικὸν λουτρὸν, καὶ μετὰ τὴν τράπεζαν τὴν πνευματικὴν, παρέθηκεν αὐτῷ καὶ τὴν σαρκικήν. Ἀλλὰ τίνος ἕνεκεν ἔσεισε τὸ δεσμω τήριον; Διεγεῖραι τὸν δεσμοφύλακα ἐβούλετο πρὸς τὴν θέαν τῶν γινομένων· ἔλυσε τὰ αἰσθητὰ δεσμὰ τῶν συνδεσμωτῶν, ἵνα λύσῃ τὰ νοητὰ δεσμὰ τοῦ δεσμοφύλακος. Ἀπεναντίας τούτων ἐποίησεν ὁ Χρι στός. Προσῆλθεν αὐτῷ παραλελυμένος ἄνθρωπος δι πλῆν τινα πάρεσιν ἔχων, τὴν μὲν ἀπὸ τῶν ἁμαρτη μάτων, τὴν δὲ ἀπὸ τοῦ σώματος. Πρότερον τὴν ἀπὸ τῶν ἁμαρτημάτων πάρεσιν ἔλυσεν, οὕτως εἰπών· Τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι. Εἶτα ἐπειδὴ ἀμφέβαλλον ἐκεῖνοι, καὶ ἐβλασφήμουν, καὶ ἔλεγον, Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεὸς, βουλόμενος αὐτοῖς δεῖξαι, ὅτι Θεός ἐστιν ἀληθῶς, βουλόμενος αὐτοὺς κρῖναι ἐκ τοῦ στόματος αὐτῶν, ἵνα μέλλῃ λέγειν, Ἐκ τοῦ στόματός σου κρινῶ σε· σὺ εἶπας, ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός· ἰδοὺ ἀφίημι, φησὶν, ἁμαρτίας, καὶ ὁμολόγησόν μου τὴν θεότητα· ἀπὸ τῆς σῆς κρίσεως ἐκφέρω τὴν ψῆφον. Ἀλλ' ἐκεῖ μὲν προτέρα ἡ νοητὴ, ὑστέρα δὲ ἡ αἰσθητή· ἐνταῦθα δὲ τὸ ἐναντίον, πρότερον τὰ αἰσθητὰ δεσμὰ, καὶ τότε τὰ νοητὰ ἀνῄρητο. Εἶδες πόση τῶν ὕμνων ἡ δύναμις; πόσον ἰσχύει αἶνος; πόσον ἰσχύει εὐχή; Ἀεὶ μὲν οὖν μεγάλη τῆς 55.525 εὐχῆς ἡ δύναμις· τὸ δὲ μετὰ νηστείας εἶναι εὐχὴν, δυνατωτέραν ποιεῖ τὴν ψυχήν. Νῦν σωφροσύνη λο γισμῶν παρ' ἡμῶν πολλὴ, νῦν διεγείρεται διάνοια, καὶ τὰ ἄνω περιβλέπει πάντα ἡ ψυχή. Διὰ τοῦτο ἀεὶ τῇ νηστείᾳ τὴν προσευχὴν συνέζευξεν ἡ Γραφή. Πῶς καὶ πότε; Μὴ ἀποστερεῖτε ἀλλήλους, φησὶν, εἰ μή τι ἂν ἐκ συμφώνου, ἵνα σχολάζητε τῇ νη στείᾳ καὶ τῇ προσευχῇ. Καὶ πάλιν ἀλλαχοῦ, Τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. Πάλιν δὲ ἀλλαχοῦ, Προσευξάμενοι, φησὶ, καὶ νηστεύσαντες, ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ε΄. Ὁρᾷς πανταχοῦ μετὰ τῆς νηστείας τὴν προσευχήν; Τότε γὰρ καὶ τερπνοτέρα καὶ δοκιμωτέρα ἀπὸ τῆς λύρας ἀναπέμπεται μελῳδία. Οὐκ εἰσὶ διάβροχοι αἱ νευραὶ, τῇ πλεονεξίᾳ τῆς μέθης διαλυθεῖσαι, ἀλλ' εὔτονος ὁ λογισμὸς, διεγηγερμένος ὁ νοῦς, νήφουσα ἡ ψυχή. Οὕτω προσιέναι τῷ Θεῷ καὶ διαλέγεσθαι χρὴ μόνον πρὸς μόνον. Εἰ γὰρ πρὸς φίλους ἔχοντές τι τῶν ἀναγκαίων εἰπεῖν, καταμόνας αὐτοὺς λαμβά νοντες, οὕτω διαλεγόμεθα· πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιεῖν χρὴ, εἰσελθόντας εἰς τὸ ταμιεῖον μεθ' ἡσυχίας πολλῆς· καὶ πάντως ἐπιτευξόμεθα πάντων, ἂν συμφερόντως τὴν αἴτησιν ποιησώμεθα. Καὶ γὰρ μέγα ἀγαθὸν εὐχὴ, ὅταν μετὰ διανοίας εὐ χαρίστου γίνηται καὶ νηφούσης· πῶς δὲ καὶ εὐχάρι στος ἔσται; Ἂν παιδεύσωμεν ἑαυτοὺς, μὴ μόνον λαμβάνοντας, ἀλλὰ καὶ ἀποτυγχάνοντας εὐχαριστεῖν τῷ Θεῷ. Καὶ γάρ ποτε μὲν δίδωσιν ὁ Θεὸς, ποτὲ δὲ οὐ δίδωσιν· ἀμφότερα δὲ χρησίμως ποιεῖ· ὥστε, κἂν λάβῃς, κἂν μὴ λάβῃς, ἔλαβες τῷ μὴ λαβεῖν· κἂν ἐπιτύχῃς, κἂν μὴ ἐπιτύχῃς, ἐπέτυχες ἐν τῷ μὴ ἐπι τυχεῖν. Ἔστι γὰρ ὅτε τὸ μὴ λαβεῖν ὅπερ αἰτοῦμεν, τοῦ λαβεῖν λυσιτελέστερον γίνεται. Εἰ γὰρ μὴ συμφέρον ἡμῖν πολλάκις ἦν τὸ μὴ λαβεῖν, πάντως ἂν ἔδωκεν ἀεί· τὸ δὲ συμφερόντως ἀποτυχεῖν, ἐπι τυχεῖν ἐστι. Διὰ τοῦτο καὶ ἀναβάλλεται τὴν αἴτησιν ἡμῶν πολλάκις, οὐ βουλόμενος ἡμᾶς παρελκύσαι, ἀλλὰ τῇ μελλήσει τῆς δόσεως τὴν διηνεκῆ προσ εδρείαν σοφιζόμενος. Ἐπειδὴ γὰρ λαβόντες πολ λάκις ὅπερ αἰτοῦμεν, μετὰ τὸ λαβεῖν τὴν περὶ τὰς εὐχὰς καταλύομεν σπουδὴν, βουλόμενος ἐπιτεῖναι τὴν ἐν ταῖς ἱκετηρίαις ἡμῶν ἀγρυπνίαν, παρέλκει τὴν δόσιν. Οὕτω καὶ φιλόστοργοι πατέρες ποιοῦσι· τὰ ῥᾴθυμα τῶν παίδων, καὶ πρὸς τὰ παιδικὰ παίγνια κατατρέχοντα, πολλάκις ὑποσχέσει δώρου μεγίστου κατέχουσι παρ' ἑαυτοῖς· διὰ τοῦτο ποτὲ μὲν ἀνα βάλλονται, ποτὲ δὲ οὐ διδόασιν.

Ἔστι γὰρ ὅτε βλα βερὰν αἰτοῦμεν αἴτησιν· ὁ δὲ τὰ συμφέροντα ἡμῖν μᾶλλον εἰδὼς, ὁ Θεὸς οὐκ ἐπινεύει ταῖς ἡμετέραις εὐχαῖς, τὸ λυσιτελὲς ἡμῖν καὶ ἀγνοούντων ἡμῶν οἰκονομῶν. Καὶ τί θαυμαστὸν, εἰ ἡμεῖς οὐκ ἀκουό μεθα, ὅπου γε καὶ ἐπὶ Παύλου τοῦτο γέγονε; Καὶ γὰρ ἐκεῖνος πολλάκις αἰτήσας ἀπέτυχε· καὶ οὐ μόνον οὐκ ἤλγησεν, ἀλλὰ καὶ ηὐχαρίστησε τῷ Θεῷ· Ὑπὲρ τούτου γὰρ, φησὶ, τὸν Κύριον τρὶς παρεκάλεσα· τὸ δὲ, Τρὶς, τὸ πολλάκις σημαίνει. Εἰ δὲ Παῦλος πολλάκις αἰτήσας οὐκ ἐπέτυχε, πολλῷ οὖν μᾶλλον ἡμᾶς ἐπιμένειν χρή. Ἀλλ' ἴδωμεν πῶς, ἐπειδὴ πολ λάκις αἰτήσας οὐκ ἔλαβε, διετέθη πρὸς τὸ μὴ λαβεῖν. Οὐ γὰρ μόνον οὐκ ἤλγησεν, ἀλλὰ καὶ καυχᾶται, 55.526 ἐπειδὴ μὴ ἔλαβεν. Εἰπὼν γὰρ, ὅτι Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα· καὶ εἶπε μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελει οῦται· ἐπήγαγεν, ὅτι Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου.

ϛ΄. Εἶδες εὐγνωμοσύνην οἰκέτου; Ἤτησε τῆς ἀσθε νείας ἀπαλλαγῆναι, καὶ οὐκ ἐπένευσεν ὁ Θεός· καὶ οὐ μόνον οὐκ ἤλγησεν ὁ Παῦλος, ἀλλὰ καὶ καυχᾶται ἐπὶ τῇ ἀσθενείᾳ. Οὕτω καὶ ἡμεῖς παρασκευάσωμεν τὰς ἑαυτῶν ψυχὰς, κἂν δῷ ὁ Θεὸς, κἂν μὴ δῷ ταῦτα ἅπερ αἰτοῦμεν, ἡμεῖς ὑπὲρ ἀμφοτέρων εὐχαριστήσωμεν τῷ Θεῷ. Ἀμφότερα γὰρ ἡμῖν συμφερόντως ποιεῖ. Εἰ τοῦ δοῦναι κύριός ἐστι, οὐκοῦν καὶ τοῦ πότε δοῦναι, καὶ τοῦ τί δοῦναι, καὶ τοῦ μὴ δοῦναι. Οὐκ οἶδας σὺ τὰ συμφέροντα, ὡς αὐτὸς οἶδε σαφῶς. Πολλάκις αἰτεῖς ἐπιβλαβῆ καὶ σφαλερά· ὁ δὲ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει προσέχει, ἀλλὰ πρὸ ταύτης τὸ συμφέρον σοι πανταχοῦ σκοπεῖ.

Εἰ γὰρ οἱ κατὰ σάρκα πατέρες οὐ πάντα αἰτοῦσι τοῖς παιδίοις παρέχουσιν, οὐκ ἐπειδὴ καταφρονοῦσιν αὐτῶν, ἀλλ' ἐπειδὴ μάλιστα κήδονται αὐτῶν· πολλῷ μᾶλλον ὁ Θεὸς, καὶ μᾶλλον φιλῶν, καὶ πλέον ἁπάντων καὶ τὸ συμφέρον εἰδὼς, τοῦτο ποιεῖ. Σχολάσωμεν οὖν ταῖς εὐχαῖς διηνεκῶς, μὴ μόνον δι' ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτός. Ἄκουσον γὰρ τί φησιν αὐτὸς ὁ προφήτης· Μεσονύκτιον ἐξηγειρόμην τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἄνθρωπος βασιλεὺς ἐν φροντίσι τοσαύταις ὢν, δήμων καὶ πόλεων καὶ ἐθνῶν ἀρχὴν ἐγκεχειρισμένος, εἰρή νης φροντίζων, πολέμους καταλύων, πραγμάτων ἄφα τον ὄχλον ὁρῶν περὶ αὐτὸν ἀεὶ περιεστῶτα, οὐδὲ μι κρὸν ἀναπνεῦσαι ἔχων, οὐ μόνον τὰς ἡμέρας, ἀλλὰ καὶ τὰς νύκτας προσετίθει ταῖς εὐχαῖς. Εἰ δὲ ὁ βασι λεὺς ὁ ἐν τοσαύτῃ τρυφῇ ζῶν, ὁ τοσαύτας ἔχων φρον τίδας, ὁ τοσούτοις πράγμασι περικυκλούμενος, οὐδὲ τὴν νύκτα ἠρέμει, ἀλλὰ τῶν ἐν ὄρεσι καθημένων μο ναχῶν ἀκριβέστερον τὰς εὐχὰς ποιούμενος διετέλει, ποίας, εἰπέ μοι, τευξόμεθα συγγνώμης ἡμεῖς, ἐν ἀδείᾳ μὲν ζῶντες πολλῇ, καὶ τὸν ἰδιωτικὸν καὶ ἀπράγμονα ἐπανῃρημένοι βίον, οὐ μόνον δὲ τὰς νύκτας καθεύ δοντες ἁπάσας, ἀλλ' οὐδὲ ἐν τῇ ἡμέρᾳ μετὰ τῆς προσ ηκούσης ἀγρυπνίας τὰς νενομισμένας ἐπιτελοῦντες εὐχάς; Μέγα ὅπλον προσευχὴ, μέγας κόσμος εὐχὴ, καὶ ἀσφάλεια καὶ λιμὴν, καὶ θησαυρὸς ἀγαθῶν, καὶ ἄσυλος πλοῦτος. Ἀνθρώπων μὲν οὖν δεόμενοι, καὶ δαπάνης χρημάτων δεόμεθα, καὶ κολακείας δουλο πρεποῦς, καὶ πολλῆς περιόδου καὶ πραγματείας. Οὐ γὰρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τὴν χάριν ἔνι διαλεχθῆναι πολλάκις, ἀλλ' ἀνάγκη πρότερον δια κόνους καὶ οἰκονόμους αὐτῶν, καὶ ἐπιτρόπους, καὶ χρήμασι, καὶ ῥήμασι, καὶ παντὶ θεραπεῦσαι τρόπῳ, καὶ τότε δι' ἐκείνων δυνηθῆναι τὴν αἴτησιν λαβεῖν· ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστιν οὕτως· οὐδὲ οὕτω δι' ἑτέ ρων παρακαλούμενος, ὡς δι' ἡμῶν αὐτῶν δεομένων, ἐπινεύει τῇ χάριτι. Καὶ ἐνταῦθα μὲν καὶ λαμβάνοντα, καὶ μὴ λαμβάνοντα ἔστι κερδαίνειν· ἐπὶ δὲ τῶν ἀνθρώπων ἐν ἑκατέρῳ πολλάκις ἐβλάβημεν.

Ἐπεὶ οὖν μεῖζον τὸ κέρδος καὶ μείζων ἡ εὐκολία τοῖς τῷ Θεῷ προσιοῦσι, μὴ καταφρονῶμεν εὐχῆς. Τότε γάρ σοι μᾶλλον καταλλαγήσεται, τότε σοι μᾶλλον δίδωσιν ὅπερ αἰτεῖς, ὅταν σὺ διὰ σεαυτοῦ παρακαλῇς, ὅταν 55.527 καθαρὰν παρέχῃς διάνοιαν, ὅταν νήφοντα λογισμὸν, ὅταν μὴ παρέργως αἰτῇς, ὅπερ ποιοῦσι πολλοὶ, καὶ ἡ γλῶττα μὲν αὐτοῖς λέγει τὰ ῥήματα τῆς εὐχῆς, ἡ δὲ ψυχὴ πολλαχοῦ τῆς οἰκίας, τῆς ἀγορᾶς, τῶν ὁδῶν περιέρχεται· τοῦτο ὅλον τοῦ διαβόλου τὸ μηχάνημα. Ἐπειδὴ γὰρ οἶδεν ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν δυνάμεθα ἀφέσεως τυχεῖν ἁμαρτιῶν, βουλόμενος ἡμῖν τὸν τῆς εὐχῆς προσχῶσαι λιμένα, κατ' αὐτὸν ἀνίσταται, ἐκκρούων ἡμῶν τὴν διάνοιαν τῶν λεγομένων, ὥστε ζημιωθέντας μᾶλλον ἢ κερδάναντας ἀπελθεῖν. Ταῦτα οὖν εἰδὼς, ἄνθρωπε, ὅταν προσέρχῃ τῷ Θεῷ, ἐννόησον τίνι προσέρχῃ· καὶ ἀρκεῖ σοι εἰς νῆψιν τὸ ἀξιόπιστον τοῦ μέλλοντός σοι διδόναι τὴν χάριν. Ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ διανοοῦ πρὸς τίνα σοι ὁ λόγος ἐστίν. Εἰ γὰρ ἀνθρώπῳ τις διαλεγόμενος ὀλίγον ἀναβεβηκότι ταῖς ἀνθρωπίναις τιμαῖς, κἂν ἁπάντων ῥᾳθυμότερος ᾖ, πάντως ἑαυτὸν διανίστησι, καὶ νήφειν παρακελεύεται τῇ ψυχῇ· πολλῷ μᾶλλον ἂν νοήσωμεν ἡμεῖς, ὅτι τῷ τῶν ἀγγέλων Δεσπότῃ διαλεγόμεθα, ἱκανὴν εἰς τὸ προσέχειν ἑαυτοῖς ὑπόθεσιν ἐκ τούτου ληψόμεθα. Εἰ δὲ δεῖ τινα καὶ ἑτέραν μέθ 55.528 οδον εἰπεῖν, δι' ἧς δυνησόμεθα τὴν ῥᾳθυμίαν ἐκφυγεῖν ταύτην, ἐκεῖνο ἂν εἴποιμι· Πολλάκις πληρώσαντες τὴν εὐχὴν, μηδὲν ἀκούσαντες ὧν εἰρήκαμεν, ἀπήλθομεν. Ἂν οὖν ἐννοήσωμεν τοῦτο, εὐθέως πάλιν αὐτὴν ἀναλάβωμεν· κἂν τὸ αὐτὸ πάθωμεν πάλιν, καὶ τρίτον καὶ τέταρτον αὐτὴν εἴπωμεν, καὶ μὴ πρότερον ἀποστῶμεν εὐχόμενοι, ἕως ἂν ἅπασαν αὐτὴν μετὰ διανοίας νηφούσης εἴπωμεν. Ἂν αἴσθηται ὁ διάβολος, ὅτι οὐ πρότερον ἀφιστάμεθα, ἕως ἂν μετὰ σπουδῆς αὐτὴν καὶ διανοίας νηφούσης εἴπωμεν, ἀποστήσεται λοιπὸν ὁ ἐνεδρεύων, εἰδὼς ὅτι οὐδὲν ἔσται πλέον αὐτῷ τῆς ἐπιβουλῆς, ἢ τὸ πολλάκις ἀναγκάζειν τὴν αὐτὴν ἡμᾶς ἀναλαμβάνειν εὐχήν.

Πολλὰ μεθ' ἡμέραν, ἀγαπητοὶ, λαμβάνομεν τραύματα ἐκ τῶν οἰκείων, ἐκ τῶν ἀλλοτρίων, ἐν ἀγορᾷ, ἐν οἰκίᾳ, ἀπὸ τῶν δημοσίων πραγμάτων, ἀπὸ τῶν ἰδιωτικῶν, ἀπὸ τῶν γειτόνων, ἀπὸ τῶν φίλων. Πάντων ἐκείνων τῶν τραυμάτων φάρμακα ἐπιθῶμεν τῷ καιρῷ τῆς εὐχῆς. Δυνατὸς γὰρ ὁ Θεὸς, εἰ μετὰ νηφούσης διανοίας καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεπυρωμένης ψυχῆς καὶ θερμοῦ συνειδότος αὐτῷ προσέλθωμεν, καὶ συγγνώμην αἰτήσαιμεν, πάντων ἡμῖν δοῦναι τῶν πεπλημμελημένων ἄφεσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.